# Λυσίμαχος. Τίριζις ἄκρα.

« Εἶτ' Ἀγχιάλη πολίχνιον Ἀπολλωνιατῶν καὶ αὐτὴ Ἀπολ- Στραβ. Ζ.
λωνία: ἐν δὲ ταύτῃ τῇ παραλίᾳ ἐστὶν ἡ Τίριζις ἄκρα, χω- 319.
ρίον ἐρυμνόν, ᾧ ποτε καὶ Λυσίμαχος ἐχρήσατο γα-
ζοφυλακίῳ. »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

133

Λυσίμαχος.

« εἶτ᾽ εἰς τὴν Ἀλεξάνδρειαν (τὴν ἐν Τρῳάδι) συνεβίβασε τοὺς Στρ. 13.
Σκηψίους Ἀντίγονος, εἶτ᾽ ἀπέλυσε Λυσίμαχος, καὶ ἐπανῆλθον 607
εἰς τὴν οἰκείαν. »

« Ἦν μὲν δὴ τὸ Πέργαμον Λυσιμάχου γαζοφυλάκιον τοῦ Ἀγα- » 623
θοκλέους, ἑνὸς τῶν Ἀλεξάνδρου διαδόχων, αὐτὴν τὴν ἄκραν
τοῦ ὄρους συνῳκισμένην ἔχον· ἔστι δὲ στροβιλοειδὲς τὸ ὄρος
εἰς ὀξεῖαν κορυφὴν ἀπολῆγον. ἐπεπίστευτο δὲ τὴν φυλακὴν
τοῦ ἐρύματος τούτου καὶ τῶν χρημάτων (ἦν δὲ τάλαντα ἐ-
νακισχίλια) Φιλέταιρος ἀνὴρ Τιανός, θλιβίας ἐκ παιδός·
συνέβη γὰρ ἔν τινι ταφῇ θέας οὔσης καὶ πολλῶν παρόν-
των ἀποληφθεῖσαν ἐν τῷ ὄχλῳ τὴν κομίζουσαν τροφὸν
τὸν Φιλέταιρον ἔτι νήπιον συνθλιβῆναι μέχρι τοσοῦδε ὥ-
στε πηρωθῆναι τὸν παῖδα. ἦν μὲν δὴ εὐνοῦχος. τραφεὶς
δὲ καλῶς ἐφάνη τῆς πίστεως ταύτης ἄξιος. τέως μὲν οὖν εὔ-
νους διέμενε τῷ Λυσιμάχῳ, διενεχθεὶς δὲ πρὸς Ἀρσινόην τὴν
γυναῖκα αὐτοῦ διαβάλλουσαν αὐτὸν ἀπέστησε τὸ χωρίον καὶ
πρὸς τοὺς καιροὺς ἐπολιτεύετο ὁρῶν ἐπιτηδείους πρὸς νεωτερι-
σμόν· ὅ τε γὰρ Λυσίμαχος κακοῖς οἰκείοις περιπεσὼν ἠναγκά-
σθη τὸν υἱὸν ἀνελεῖν Ἀγαθοκλέα, Σέλευκός τε ἐπελθὼν ὁ Νικά-
τωρ ἐκεῖνόν τε κατέλυσε καὶ αὐτὸς κατελύθη δολοφονηθεὶς
ὑπὸ Πτολεμαίου τοῦ Κεραυνοῦ. τούτων δὲ θορύβων ὄντων διε-
γένετο μένων ἐπὶ τοῦ ἐρύματος ὁ εὐνοῦχος, πολιτευόμενος δι᾽

134

## Λυσίμαχος.

συνῳκισμένης μὲν ἤδη ὑπ' Ἀντιγόνου καὶ προσηγορευμένης Ἀντιγονίας, μεταβαλούσης δὲ τοὔνομα· ἔδοξε γὰρ εὐσεβὲς εἶναι τοὺς Ἀλέξανδρον διαδεξαμένους ἐκείνου πρότερον κτίζειν ἐπωνύμους πόλεις, εἶθ' ἑαυτῶν· καὶ δὴ καὶ συνέμεινε καὶ αὔξησιν ἔσχε, νῦν δὲ καὶ Ῥωμαίων ἀποικίαν δέδεκται καὶ ἔστι τῶν ἐλλογίμων πόλεων.

〃 597 « Ἔχθραν δ' ἀεὶ καὶ πόλεμον φασὶ τοῖς τε Κεβρηνοῖς καὶ τοῖς Σκηψίοις ἕως Ἀντίγονος αὐτοὺς συνῴκισε εἰς τὴν τότε μὲν Ἀντιγόνειαν νῦν δ' Ἀλεξάνδρειαν· τοὺς μὲν οὖν Κεβρηνίους συμμεῖναι τοῖς ἄλλοις ἐν τῇ Ἀλεξανδρείᾳ, τοὺς δὲ Σκηψίους ἐπανελθεῖν εἰς τὴν οἰκείαν ἐπιτρέψαντος Λυσιμάχου. »

〃 602 « Πάλιν δ' αὐτός φησιν (Δημήτριος ὁ Σκήψιος) » ὁ μὲν Ῥῆσος ποταμὸς νῦν καλεῖται Ῥοείτης· εἰ μὴ ἄρα ὁ εἰς τὸν Γράνικον ἐμβάλλων Ῥῆσος ἐστίν. Ἑπτάπορος δέ, ὃν καὶ Πολύπορον λέγουσιν, ἑπτάκις διαβαινόμενος ἐκ τῶν περὶ τὴν Καλὴν Πεύκην χωρίων ἐπὶ Μελαινὰς κώμην ἰοῦσι καὶ τὸ Ἀσκληπιεῖον, ἵδρυμα Λυσιμάχου. »

# Λυσίμαχος.

135

« Ἦν δ' ἐν αὐτῷ τῷ κόλπῳ (τῷ Ἀστακηνῷ) ἡ Ἀστακὸς πόλις, Με- Στραβ. ΙΒ.
γαρέων κτίσμα καὶ Ἀθηναίων καὶ μετὰ ταῦτα Δοιδαλ- 563.
σοῦ, ἀφ' ἧς καὶ ὁ κόλπος ὠνομάσθη· κατεσκάφη δ' ὑπὸ Λυ-
σιμάχου· τοὺς δ' οἰκήτορας μετήγαγεν εἰς Νικομήδειαν
ὁ κτίσας αὐτήν. »

« Ἐν δὲ τῇ μεσογαίᾳ τῆς Βιθυνίας τό τε Βιθύνιον . . . . » ΙΒ.
. . . . καὶ Νίκαια ἡ μητρόπολις τῆς Βιθυνίας ἐπὶ 565
τῇ Ἀσκανίᾳ λίμνῃ . . . . . κτίσμα μὲν Ἀντι-
γόνου πρῶτον τοῦ Φιλίππου, ὃς αὐτὴν Ἀντιγόνειαν προσεῖ-
πεν, εἶτα Λυσιμάχου, ὃς ἀπὸ τῆς γυναικὸς μετωνόμασε
Νίκαιαν· ἦν δ' αὕτη θυγάτηρ Ἀντιπάτρου. ἔστι δὲ τῆς πό-
λεως ἑκκαιδεκαστάδιος ὁ περίβολος ἐν τετραγώνῳ σχή-
ματι· ἔστι δὲ ἡ τετράπυλος ἐν πεδίῳ κείμενος ἐρρυμοτο-
μημένος πρὸς ὀρθὰς γωνίας, ὥστ' ἀφ' ἑνὸς λίθου κατὰ
μέσον ἱδρυμένου τῷ γυμνασίῳ τὰς τέτταρας ὁρᾶσθαι πύλας. »

« μετὰ δὲ τὴν ἐκείνου (τοῦ Ἀλεξάνδρου) τελευτὴν Λυσίμαχος μά- » ΙΓ.
λιστα τῆς πόλεως (τῶν Ἰλιέων) ἐπεμελήθη καὶ νεὼν κατε- 593.
σκεύασε καὶ τεῖχος περιεβάλετο ὅσον τετταράκοντα σταδί-
ων, συνῴκισε δὲ εἰς αὐτὴν τὰς κύκλῳ πόλεις ἀρχαίας
ἤδη κεκακωμένας, ὅτε καὶ Ἀλεξανδρείας ἤδη ἐπεμελήθη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

136

υποσχέσεων και της άλλης θεραπείας αει προς τον ι-
σχύοντα και εγγυς παρόντα· διετέλεσε γουν έτη είκο-
σι κύριος ων του φρουρίου και των χρημάτων.

» 640 « Λυσίμαχος δε την νυν πόλιν (Πάνορμον εν Ιωνία)
τειχίσας, αηδως των ανθρώπων μεθισταμένων, τηρήσας
καταρράκτην όμβρον συνήργησε και αυτος και τους
ρινούχους ενέφραξεν ώστε κατακλύσαι την πόλιν· οι
δε μετώκισαν άσμενοι. εκάλεσε δ' Αρσινόην απο
τη, γυναικας την πόλιν επεκράτησε μέντοι το αρ-
χαίον όνομα. ην δε γερουσία καταγραφομένη, τούτοις
δε συνήεσαν οι επίκλητοι καλούμενοι και διώκουν πάντα.

» 646. « Εξης δε άλλος κόλπος εν ω η παλαια Σμύρνα απο είκοσι
σταδίων της νυν. Λυδων δε κατασπασάντων την Σμύρναν
περι τετρακόσια έτη διετέλεσαν οικούμενη κωμηδόν· είτα α-
νήγειρεν αυτην Αντίγονος, και μετα ταύτα Λυσίμαχος, και
νυν εστι καλλίστη των πασων, μέρος μέν τι έχουσα επ' ό-
ρει τετειχισμένον, το δε πλέον εν πεδίω προς τω λιμένι και
προς τω μητρώω και προς γυμνασίω. έστι δ' η ρυμοτομία
διάφορος επ' ευθειων εις δύναμιν και αι οδοι λιθόστρωτοι
στοαί τε μεγάλαι τετράγωνοι, επίπεδοί τε και υπερώοι . . . »

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Λυσίμαχαι Λυσιμάχεια.

697 Θρακίας δὲ Χερρόνησος ἐχομένη Σκύμνου
κεῖται, καθ' ἣν πόλις ἐστὶ πρώτη Καρδία Περιήγησις.

. . . . . .

702 Πρόσεστι δὲ Λυσιμάχεια· ταύτην δ' ἔκτισεν
ἐπώνυμον Λυσίμαχος ἀφ' ἑαυτοῦ πόλιν.
Λίμναι δ' ἐφεξῆς εἰσὶν αἱ Μιλησίων.

ἐς τὸ Πέργαμον ἡ πόλις, γαζοφυλάκιον ἦν τοῦ Λυ- Στράβων
σιμάχου τοῦ Ἀγαθοκλέους, ἑνὸς τῶν Ἀλεξάνδρου διαδόχων, ἐπεπιστεύ- ΙΓ'
ετο δὲ τὴν φυλακὴν τῶν χρημάτων πολλὰ τάλαντα θ. Φι-
λέταιρος, ἀνὴρ Τιανός, θλιβίας ἐκ παιδός, ἐν τινι ὄχλῳ ἀποθλι-
βεὶς μετὰ τῆς τροφοῦ, καὶ διὰ τοῦτο εὐνοῦχος, τέως μὲν οὖν εὔ-
νους ἦν Λυσιμάχῳ· διενεχθεὶς δὲ πρὸς Ἀρσινόην τὴν γυναῖκα
αὐτοῦ, ἀπέστη, ὁρῶν ἐπιτηδείους καιρούς. ὅ τε γὰρ Λυσίμαχος, κα-
κοῖς οἰκείοις περιπεσών, ἠναγκάσθη τὸν υἱὸν ἀνελεῖν Ἀγαθοκλέ-
α· Σέλευκος δ' ἐπελθὼν ὁ Νικάτωρ, ἐκεῖνόν τε κατέλυσεν καὶ αὐτὸς
κατελύθη, δολοφονηθεὶς ὑπὸ Πτολεμαίου τοῦ Κεραυνοῦ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Γέται. Δρομιχαίτης. Λυσίμαχος

« ὁ δὲ Δρομιχαίτης κατὰ τὸν διαδόχον ἦν Γετῶν βασιλεύς. Στράβων
οὗτος τοίνυν λαβὼν ζωγρείᾳ Λυσίμαχον ἐπιστρατεύσαντα Σ. 302.
αὐτῷ, δείξας τὴν πενίαν τήν τε ἑαυτοῦ καὶ τοῦ ἔθνους, ὁ- σ. 414.
μοίως δὲ καὶ τὴν αὐτάρκειαν, ἐκέλευσε τοῖς τοιούτοις μὴ
πολεμεῖν, ἀλλὰ φίλοις χρῆσθαι· ταῦτα δ' εἰπὼν, ξενίσας
καὶ συνθέμενος φιλίαν ἀπέλυσεν αὐτόν. »

Νίκαια. Λυσιμάχου γυνή.

139

«Νίκαια, πόλις Βιθυνίας, Βοττιαίων ἄποικος. ἐκαλεῖτο Στ. Βυζ.
δὲ πρότερον Ἀγκώρη, εἶτα Ἀντιγόνεια, ὕστερον δὲ ἀπὸ
τῆς Λυσιμάχου γυναικὸς Νίκαια μετεκλήθη. $β^{α}$ ἐν
Ἐπικνημιδίων Λοκρῶν. $γ^{η}$ ἐν Ἰλλυρίδι. $δ^{η}$ ἐν Ἰνδοῖς.
$ε^{η}$ ἐν Κύρνῳ τῇ νήσῳ $ϛ^{η}$ ἐν Λοκροῖς.
$ζ^{η}$ Κελτικῆς, Μασσαλιωτῶν ἄποικος. ὀγδόη Θρᾴκης.
εἰσὶ δὲ καὶ ἄλλαι. ἡ παρὰ Θερμοπύλας καὶ Θρᾴκην.
λέγεται δὲ προπαροξυτόνως, εἰ δ' ἦν νικαῖος, τὸ θη-
λυκὸν νικαία. ὁ πολίτης Νικαιεὺς καὶ Νικαεὺς δισσῶς.
ἐξ αὐτῆς Δίωνος καὶ Ἀσκληπιάδης καὶ Παρθένιος καὶ Ἀσκλη-
πιάδης καὶ Εὐπείθης γραμματικὸς γράψας περὶ
λέξεων ἀττικῶν καὶ κωμικῶν καὶ τραγικῶν.»

# Λυσίμαχος.

«Ην δ' εν αυτῷ τῷ κόλπῳ (τῷ Αστακηνῷ) η Αστακὸς πόλις, Μεγαρέων κτίσμα και Αθηναίων και μετα ταῦτα Δοιδαλσοῦ, αφ' ης και ο κόλπος ωνομάσθη· κατεσκάφη δ' υπο Λυσιμάχου· τους δ' οικήτορας μετήγαγεν εις Νικομήδειαν ο κτίσας αυτην..» Στραβ. ΙΒ. 563.

«Εν δε τῃ μεσογαίᾳ της Βιθυνίας τό τε Βιθύνιον . . . » ΙΒ. 565
. . . και Νίκαια η μητρόπολις της Βιθυνίας επι τῃ Ασκανίᾳ λίμνῃ . . . . . κτίσμα μεν Αντιγόνου πρῶτον τοῦ Φιλίππου, ος αυτην Αντιγόνειαν προσεῖπεν, είτα Λυσιμάχου, ος απο της γυναικος μετωνόμασε Νίκαιαν· ην δ' αύτη θυγάτηρ Αντιπάτρου. έστι δε της πόλεως εκκαιδεκαστάδιος ο περίβολος εν τετραγώνῳ σχήματι· έστι δε η τετράπυλος εν πεδίῳ κείμενος ερρυμοτομημένας προς ορθας γωνίας, ως αφ' ενος λίθου κατα μέσον ιδρυμένου το γυμνάσιον τας τέτταρας ορᾶσθαι πύλας.»

«μετα δε την εκείνου (του Αλεξάνδρου) τελευτην Λυσίμαχος μάλιστα της πόλεως (των Ιλιέων) επεμελήθη και νεων κατεσκεύασε και τείχος περιεβάλετο όσον τετταράκοντα σταδίων, συνώκισε δε εις αυτην τας κύκλῳ πόλεις αρχαίας ήδη κεκακωμένας, ότε και Αλεξανδρείας ήδη επεμελήθη.» » ΙΓ. 593.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

συνῳκισμένης μὲν ἤδη ὑπ᾽ Ἀντιγόνου καὶ προσηγορευμένης Ἀντιγονίας, μεταβαλούσης δὲ τοὔνομα· ἔδοξε γὰρ εὐσεβὲς εἶναι τοὺς Ἀλέξανδρον διαδεξαμένους ἐκείνου πρότερον κτίζειν ἐπωνύμους πόλεις, εἶθ᾽ ἑαυτῶν· καὶ δὴ καὶ συνέμεινε καὶ αὔξησιν ἔσχε, νῦν δὲ καὶ Ῥωμαίων ἀποικίαν δέδεκται καὶ ἔστι τῶν ἐλλογίμων πόλεων.

〃 597 «ἔχθραν δ᾽ ἀεὶ καὶ πόλεμον εἶναι τοῖς τε Κεβρηνοῖς καὶ τοῖς Σκηψίοις, ἕως Ἀντίγονος αὐτοὺς συνῴκισε εἰς τὴν τότε μὲν Ἀντιγόνειαν νῦν δὲ Ἀλεξάνδρειαν· τοὺς μὲν οὖν Κεβρηνίους συμμεῖναι τοῖς ἄλλοις ἐν τῇ Ἀλεξανδρείᾳ, τοὺς δὲ Σκηψίους ἐπανελθεῖν εἰς τὴν οἰκείαν ἐπιτρέψαντος Λυσιμάχου.»

〃 602 «Πάλιν δ᾽ οὕτως φησὶν (Δημήτριος ὁ Σκήψιος)» ὁ μὲν Ῥῆσος ποταμὸς νῦν καλεῖται Ῥοείτης. εἰ μὴ ἄρα ὁ εἰς τὸν Γράνικον ἐμβάλλων Ῥῆσός ἐστιν. Ἑπτάπορος δέ, ὃν καὶ Πολύπορον λέγουσιν, ἑπτάκις διαβαινόμενος ἐκ τῶν περὶ τὴν Καλὴν πεύκην χωρίων ἐπὶ Μελαινὰς κώμην ἰοῦσι καὶ τὸ Ἀσκληπίειον, ἵδρυμα Λυσιμάχου.»





«εἶτ᾽ εἰς τὴν Ἀλεξάνδρειαν (τὴν ἐν Τρῳάδι) συνεπόλισε τοὺς Σκηψίους Ἀντίγονος, εἶτ᾽ ἀπέλυσε Λυσίμαχος, καὶ ἐπανῆλθον εἰς τὴν οἰκείαν.» Στρ. 13 607

«Ἦν μὲν δὴ τὸ Πέργαμον Λυσιμάχου γαζοφυλάκιον τοῦ Ἀγαθοκλέους, ἑνὸς τῶν Ἀλεξάνδρου διαδόχων, αὐτὴν τὴν ἄκραν τοῦ ὄρους συνῳκισμένην ἔχον· ἔστι δὲ στροβιλοειδὲς τὸ ὄρος εἰς ὀξεῖαν κορυφὴν ἀπολῆγον. ἐπεπίστευτο δὲ τὴν φυλακὴν τοῦ ἐρύματος τούτου καὶ τῶν χρημάτων (ἦν δὲ τάλαντα ἐνακισχίλια) Φιλέταιρος ἀνὴρ Τιανός, θλιβίας ἐκ παιδός· συνέβη γὰρ ἔν τινι ταφῇ θέας οὔσης καὶ πολλῶν παρόντων ἀποληφθεῖσαν ἐν τῷ ὄχλῳ τὴν κομίζουσαν τροφὸν τὸν Φιλέταιρον ἔτι νήπιον συνθλιβῆναι μέχρι τοσοῦδε ὥστε πηρωθῆναι τὸν παῖδα. ἦν μὲν δὴ εὐνοῦχος, τραφεὶς δὲ καλῶς ἐφάνη τῆς πίστεως ταύτης ἄξιος. τέως μὲν οὖν εὔνους διέμενε τῷ Λυσιμάχῳ, διενεχθεὶς δὲ πρὸς Ἀρσινόην τὴν γυναῖκα αὐτοῦ διαβάλλουσαν αὐτὸν ἀπέστησε τὸ χωρίον καὶ πρὸς τοὺς καιροὺς ἐπολιτεύετο ὁρῶν ἐπιτηδείους πρὸς νεωτερισμόν· ὅ τε γὰρ Λυσίμαχος κακοῖς οἰκείοις περιπεσὼν ἠναγκάσθη τὸν υἱὸν ἀνελεῖν Ἀγαθοκλέα, Σέλευκός τε ἐπελθὼν ὁ Νικάτωρ ἐκεῖνόν τε κατέλυσε καὶ αὐτὸς κατελύθη δολοφονηθεὶς ὑπὸ Πτολεμαίου τοῦ Κεραυνοῦ. τοιούτων δὲ θορύβων ὄντων διεγένετο μένων ἐπὶ τοῦ ἐρύματος ὁ εὐνοῦχος, ὑποπολιτευόμενος δι- 〃 623

# Λυσίμαχος

131

υποσχέσεων και της άλλης θεραπείας αεί προς τον ι-
σχύοντα και εγγύς παρόντα· διετέλεσε γουν έτη είκο-
σι κύριος ων του φρουρίου και των χρημάτων.

" 640 « Λυσίμαχος δε την νυν πόλιν (Πάνορμον εν Ιωνία)
τειχίσας, αηδώς των ανθρώπων μεθισταμένων, τηρήσας
καταρράκτην όμβρον συνήργησε και αυτός και τους
ρινούχους ενέφραξεν ώστε κατακλύσαι την πόλιν· οι
δε μετώκησαν άσμενοι. εκάλεσε δ' Αρσινόην από
της γυναικός την πόλιν, επεκράτησε μέντοι το αρ-
χαίον όνομα. ην δε γερουσία καταγραφομένη, τούτοις
δε συνήεσαν οι επίκλητοι καλούμενοι και διώκουν πάντα.

" 646. « Εξής δε άλλος κόλπος εν ω η παλαιά Σμύρνα από είκοσι
σταδίων της νυν. Λυδών δε κατασπασάντων την Σμύρναν
περί τετρακόσια έτη διετέλεσεν οικουμένη κωμηδόν· είτα αν-
ήγειρεν αυτήν Αντίγονος, και μετά ταύτα Λυσίμαχος, και
νυν εστι καλλίστη των πασών, μέρος μεν τι έχουσα επ' ό-
ρει τετειχισμένον, το δε πλέον εν πεδίω προς τω λιμένι και
προς τω Μητρώω και προς γυμνασίω. έστι δ' η ρυμοτομία
διάφορος επ' ευθειών εις δύναμιν και αι οδοί λιθόστρωτοι,
στοαί τε μεγάλαι τετράγωνοι, επίπεδοί τε και υπερώοι . . . »